ὥσπερ ἀμέλει τοὐναντίον μεγαλαυχίας ἐμπίπλανται καὶ φρυάγ-
ματος οἱ γονέων διασήμων. Διόφαντον γοῦν τὸν Θεμιστο-
κλέους πολλάκις λέγουσι φάναι καὶ πρὸς πολλοὺς ὡς ὅ τι ἂν
αὐτὸς βούληται, τοῦτο τῷ δήμῳ συνδοκεῖ τῷ Ἀθηναίων. ἃ
μὲν γὰρ αὐτὸς ἐθέλει, καὶ ἡ μήτηρ· ἃ δ' ἂν ἡ μήτηρ, καὶ
Θεμιστοκλῆς· ἃ δ' ἂν Θεμιστοκλῆς, καὶ πάντες Ἀθηναῖοι.
πάνυ δ' ἄξιον ἐπαινεῖν καὶ Λακεδαιμονίους τῆς μεγαλοφρο-
D σύνης, οἵτινες Ἀρχίδαμον τὸν βασιλέα ἑαυτῶν ἐζημίωσαν χρή-
μασιν, ὅτι μικρὰν τὸ μέγεθος γυναῖκα γάμῳ λαβεῖν ὑπέμεινεν,
ἐπειπόντες ὡς οὐ βασιλέας ἀλλὰ βασιλείδια παρασχεῖν αὐτοῖς
διανοοῖτο.

**3.** Ἐχόμενον δ' ἂν εἴη τούτων εἰπεῖν ὅπερ οὐδὲ τοῖς πρὸ
ἡμῶν παρεωρᾶτο. τὸ ποῖον; ὅτι τοὺς ἕνεκα παιδοποιίας πλη-
σιάζοντας ταῖς γυναιξὶν ἤτοι τὸ παράπαν ἀοίνους ἢ μετρίως
γοῦν οἰνωμένους ποιεῖσθαι προσήκει τὸν συνουσιασμόν. φίλ-
οινοι γὰρ καὶ μεθυστικοὶ γίνεσθαι φιλοῦσιν ὧν ἂν τὴν ἀρχὴν
2 τῆς σπορᾶς οἱ πατέρες ἐν μέθῃ ποιησάμενοι τύχωσιν. | ᾗ καὶ
Διογένης μειράκιον ἐκστατικὸν ἰδὼν καὶ παραφρονοῦν „νεα-
νίσκε" ἔφησεν, „ὁ πατήρ σε μεθύων ἔσπειρε". καὶ περὶ μὲν
τῆς γενέσεως τοσαῦτ' εἰρήσθω μοι, περὶ δὲ τῆς ἀγωγῆς καὶ
δὴ λεκτέον.

**4.** Καθόλου μὲν εἰπεῖν, ὃ κατὰ τῶν τεχνῶν καὶ τῶν ἐπι-
στημῶν λέγειν εἰώθαμεν, ταὐτὸν καὶ κατὰ τῆς ἀρετῆς φατέον
ἐστίν, ὡς εἰς τὴν παντελῆ δικαιοπραγίαν τρία δεῖ συνδραμεῖν,
φύσιν καὶ λόγον καὶ ἔθος. καλῶ δὲ λόγον μὲν τὴν μάθησιν,
ἔθος δὲ τὴν ἄσκησιν. εἰσὶ δ' αἱ μὲν ἀρχαὶ ⟨τῆς φύσεως, αἱ
δὲ προκοπαὶ⟩ τῆς μαθήσεως, αἱ δὲ χρήσεις τῆς μελέτης, αἱ
B δ' ἀκρότητες πάντων. καθ' ὃ δ' ἂν λειφθῇ τούτων, κατὰ